Γέραιρε.] τίμα, σέβε, δόξαζε. χορομανῆ δὲ τρόπον καλεῖ, καθ' ὃν ἐν τῇ χορείαις, διὰ τὰς συντόνους ὀρχήσεις, ὁ χορεύων A μαίνεσθαί πως φαίνεται. Χορομανὴς δὲ, ὡς γυναιμανὴς ὁ περὶ τὰς γυναῖκας μαινόμενος.

Πρῶτον εὐκύκλου χορείας εὐφυῆ στῆσαι βάσιν.
Πρόβαινε ποσὶν, τὸν εὐλύραν,
Μέλπουσα, καὶ τὴν τοξοφόρον
Ἄρτεμιν ἄνασσαν ἁγνήν.
Χαῖρ' ὦ ἑκάεργε ὄπαζε δὲ νίκην.
Ἥραν τε τὴν τελείαν
Μέλψωμεν. ὥσπερ εἰκός.
Ἣ πᾶσι τοῖς χοροῖσιν ἐμ-
Παίζει τε, καὶ κλῇδας γάμου φυλάττει.
Ἑρμῆν τε Νόμιον ἄντομαι,
Καὶ Πᾶνα, καὶ Νύμφας φίλας.
Ἐπιγελάσαι προθύμως
Ταῖς ἡμετέραισι χαρέντα χορείαις.
Ἔξαιρε δὴ προθύμως
Διπλῆν χάριν χορείας.
Παίσωμεν ὦ γυναῖκες οἷ-
Απερ νόμος· νηστεύωμεν δὲ πάντως.
Ἀλλ' εἶ' ἐπ' ἄλλ' ἀναστρέφου εὐρύθμῳ ποδὶ
Τόρευε πᾶσαν ᾠδήν,
Ἡγοῦ δ' ἔγ' ὧδ' αὐτός.

Primùm benè orbicularis,& rotundæ choreæ aptum ac concinnum constituere gressum.
Procede pedibus aurea lyra vtentem, Apollinem
Canens,& arciferam
B Dianam,reginam castam.
Salue ô longè feriens Apollo, præbe autem victoriam,
Iunonemq́; perfectam.
Canamus quemadmodum opera precium est,
Quæ omnibus choris
Colluditq́;,& claues nuptiarum seruat:
Mercuriumq́; pastoralem precor,
Et Pana,& Nymphas charas
C Arridere promptè
Nostris lætatas choreis.
Extolle autem promptè
Duplicibus manibus choream:
Feriamus terram ô mulieres,
Quale quidem est institutum nostrum, ieiunemus autem prorsus.
Sed eia, ad alia genera saltationis converte te concinno pede:
D Torna,& concinna totam cantilenam.
Dux sis autem ita ipse.

Bourdinus. Εὐκύκλου χορείας.) τουτέστιν εὖ καὶ ἀξιοπρεπῶς χορευούσης. Εὐφυῆ.] ἁρμόττουσαν, ἐπιπρέπουσαν. Στῆσαι.] καθιστάναι. Εὐλύραν.] χρυσῆν λύραν ἔχοντα Ἀπόλλωνα. Ὄπαζε.] πάρεχε. Ἑκάεργε.] ἕκαθεν βάλλων, καὶ τοξεύων. Ἐμπαίζει.] ἀναπαίζει, καὶ ἀναπηδᾷ. Κλῇδας.] κλεῖς γάμου διαφυλάττει. Νόμιον.] νόμων φύλακα. Ἐπιγελάσαι.] ἐφήδεσθαι, ἐπιχαρῆναι. Προθύμως.] μετὰ πάσης προθυμίας. Ἄντομαι.] εὔχομαι. Διπλοῖν χεροῖν.] ὥστε μᾶλλον δεικνύναι τὴν προθυμίαν. καὶ γὰρ οἱ προθύμως ἐπαλλόμενοι δυαῖς χερσὶν ἐξαίρουσι τὴν χορείαν. Παίσωμεν.] τὸ τ στοιχεῖόν ἐστιν ἐμβόλιμον. Νηστεύωμεν.] σωφρονῶμεν καὶ κοσμίως προσφερώμεθα κατὰ νόμους. Τόρευε.] τορῶς καὶ τρανῶς λέγε. τορεύειν δὲ κυρίως σημαίνει τὸ γλύφειν, λιθοξοεῖν.

Bisetus. Εὐκύκλου.] τοῦ εὐρύθμου, καὶ ἐγκυκλίου F χορείας, ἣν αἱ γυναῖκες εἰς κύκλον περιστρεφόμεναι ἐποίουν. εὐφυῆ στῆσαι βάσιν, ἀντὶ τοῦ εὐφυῶς, καὶ καλῶς, καὶ εὐρύθμως βαίνειν, ὀρχεῖσθαι, χορείαν ἵστασθαι. εὐφυὴς, ὁ καλὴν φύσιν ἔχων. ὁ ὡραῖος, ὁ ἐπιεικὴς καὶ σπουδαῖος. Σ. Τὸν εὐλύραν.) τὸν Φοῖβον περιφραστικῶς λέγει, τὸν ἀγαθὴν, καὶ καλὴν ἔχοντα λύραν. ἀλλαχοῦ δὲ τὸν αὐτὸν εὔλυρον καλεῖ. Ὦ ἑκάεργε] ἑκάεργος λέγεται Ἀπόλλων, ὡς ἕκαθεν εἴργων ὡς τοξότης. ἢ ὁ ἕκαθεν ἐργαζόμενος, ὡς τὰ περὶ τὴν γῆν ὡς ἥλιος καθωμίληται τοῖς παλαιοῖς. Εὐστάθ. ὄπαζε δὲ, πάρεχε. ὀπάζειν, τὸ διδόναι, καὶ τὸ κατόπιν διώκειν. ἔστιν ὅτε καὶ δηλοῖ G τὸν ὀπαδὸν, ἤγουν ἀκόλουθον διδόναι. καὶ ὀπάζεσθαί τινα, ὀπαδὸν ἐλέσθαι. Εὐστ. Ἥραν τελείαν] Ἥρα τελεία, καὶ Ζεὺς τέλειος ἐτιμῶντο ἐν τοῖς γάμοις, ὡς Πρυτάνεις ὄντες τῶν γάμων. Σ. καὶ τέλος, ὁ γάμος. ὅθεν τελείους τοὺς γεγαμηκότας ἔλεγον. Εὐστ. Ἐμπαίζει.) εἴπερ ἡ γραφὴ καλῶς ἔχει, ἐμπαίζειν ἐνταῦθα λαμβάνεται ἀντὶ τοῦ συμπαίζειν. ἢ ἐμπαίζει χοροῖς, ἤγουν ἐν χοροῖς παίζει. τινὲς δὲ γράφουσιν ἐμπάζεται, ἤγουν ἐντρέπεται, φροντίζει, ἐπιστροφὴν ποιεῖται. οὕτω παρ' Ὁμήρῳ

Οὐκ ἐμπάζετο ἱρῶν.

ὅπερ Εὐστάθιος ἑρμηνεύει, οὐκ ἐπεστρέφετο τῆς θυσίας. ἐν τούτῳ δὲ διαφέρουσιν οὗτοι, ὅτι Ὅμηρος μὲν μετὰ γενικῆς, E Ἀριστοφάνης δὲ μετὰ δοτικῆς τοῦτο τὸ ῥῆμα συντάσσει ὃ παρατηρητέον. εἴρηται δὲ παρὰ τὸ ἔμπαξ, ἔμπακος, ὡς ἀπὸ τοῦ ἅρπαξ, ἁρπάζω. ἔμπαξ δὲ εὑρίσκεται ἐν τῷ Σοφ. Αἴαντι. Τεῦκρον ἀμφὶ τὸν λελειμμένον, τροφῆς ἄοκνον ἔμπακα. τὰ σχόλια, ἀνατροφῆς πρόθυμον φροντιστήν. Τὰς κλῇδας) τὰς τοῦ γάμου κλεῖδας φυλάττει. διὸ καὶ Τελεία καλεῖται. Ἑρμῆν τε νόμιον.] Ἑρμοῦ ἐπίθετον, παρὰ τὸ νέμειν, τὸ βόσκειν, καὶ τρέφειν. ὅτι τῶν νομέων ἔφορος, καὶ φύλαξ. ἄντομαι δὲ, ἱκετεύω ἄντω, καὶ ἄντομαι, ὡς φησὶν Εὐστάθιος κατὰ F τρίτην τῶν βαρυτόνων παρ' Ὁμήρῳ. παρὰ δὲ τοῖς ὕστερον, ἀντῶ περισπώμενον, οὗ μέλλων ἀντήσω. τοῦ δὲ ἄντω ὁ μέλλων οὐχ εὑρίσκεται. Χαρέντα χορείαις] γραπτέον χαρέντας, καὶ πρὸς τὸν Πᾶνα, καὶ τὰς Νύμφας ἀνοιστέον. τὸ δὲ ἀρσενικὸν γένος ὡς τιμιώτερον καὶ τὸ θηλυκὸν πολλάκις ὡς καὶ ἐνταῦθα συνέχει. Διπλῆν χαίρειν χορείας.] διπλῆν χάριν χορείας γραπτέον. ὁ νοῦς. νῦν οὖν ἔξαιρε προθύμως τὰς χορείας. τουτέστι χόρευσον οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ δὶς, ὥστε καὶ διπλῆν χάριν, καὶ χαρὰν, καὶ εὐφροσύνην ἐκ τῆς χορείας ἡμᾶς λαβεῖν. Ἡσύχιος δὲ Διπλῆν, G ὀρχήσεως, ἢ κρούματος εἶδος εἶναι λέγει. τινὲς δὲ καὶ ταῦτα γράφουσιν οὕτω, Διπλαῖς χερσὶν χορείαις. ἀλλὰ διπλοῖς ποσὶν χορείας μᾶλλον ἂν εἴη λεκτέον, ὃ πολὺ πιθανώτερον, εἴ τι κινητέον. Ἀλλ' εἶ' ἐπ' ἄλλ'.] τὸ πλῆρες, ἀλλὰ εἶα ἐπὶ ἄλλα ἀνάστρεφε εὐρύθμῳ ποδί. τόρευε δὲ, τορῶς, τρανῶς, καὶ σαφῶς λέγε. Σ. κισσοφόρον δὲ καλεῖ τὸν Διόνυσον, παρὰ τὸν κισσὸν, ὃν φέρει. κισσὸς

δὲ